**φερέσβιος.** Ζωοφόρος/ζωοδότης, life-bearing/life-giving, Ἐμπεδοκλῆς 6.2 *Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ' Ἀιδωνεύς.*

**φέριστος.** Ἄριστος/κράτιστος, best/strongest, Ξενοφάνης 22.4 *πόσα τοι ἔτε' ἐστί, φέριστε;* Ἐμπεδοκλῆς 21.12 *θεοὶ δολιχαίωνες τιμῇσι φέριστοι* 23.8 *θεοὺς δολιχαίωνας τιμῇσι φερίστους* 146.3 *θεοὶ τιμῇσι φέριστοι.*

**φεύγειν.** Προσπαθῶ νὰ ἀποφύγω, try to avoid, Δημόκριτος 203 *ἄνθρωποι τὸν θάνατον φεύγοντες διώκουσιν.*

**φθέγγεσθαι 1.** Φθέγγομαι/ἐκβάλλω φωνή, cry out, Ξενοφάνης 7.5 *φίλου ἀνέρος ἐστὶν ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀίων* Ἀρχύτας 1.31-32-40-52 *χρήζομές τι μέγα φθέγξασθαι καὶ ὀξύ, σφοδρῷ τῷ πνεύματι φθεγγόμενοι... ἀλλὰ μὰν καὶ τούτῳ γά κα ἴδοιμες ἰσχυροτάτῳ σαμείῳ, ὅτι τῷ αὐτῷ φθεγξαμένω μέγα μὲν πόρσωθέν κ' ἀκούσαιμες ... αἰ δέ κα ἐς τὸ ἥμισυ ἢ ὁπόστον ⟨ὦν⟩ μέρος αὐτῶ, ὀξὺ φθεγξεῖται* **2.** Λέγω/διηγοῦμαι, tell/narrate, Ξενοφάνης 12.1 *ὡς πλεῖστ(α) ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα* **3.** Ἀπαγγέλω/ἐκφωνῶ, recite/speak loudly, Ἡράκλειτος 92 *Σίβυλλα δὲ μαινομένῳ στόματι ... ἀγέλαστα καὶ ἀκαλλώπιστα καὶ ἀμύριστα φθεγγομένη.* Πρβλ. *λέγειν, φάσκειν, φατίζειν, φωνεῖν.*

**φθείρεσθαι.** Φθείρομαι, pass away, Ἐμπεδοκλῆς 17.31 *εἴτε γὰρ ἐφθείροντο διαμπερές, οὐκέτ' ἂν ἦσαν.* Πρβλ. *φθορά, ὄλλυσθαι.*

**Φθιμένη** (ἀντίθ. *Φυσώ*). Φθορὰ (προσωποπ.), Decay (personif.), Ἐμπεδοκλῆς 123.1 *Φυσώ τε Φθιμένη τε.*

**φθίνειν.** Φθίνω/φθείρομαι, decrease/waste away, Ἐμπεδοκλῆς 26.2 *ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο κύκλοιο, καὶ φθίνει εἰς ἄλληλα καὶ αὔξεται ἐν μέρει αἴσης.* Πρβλ. *φθείρεσθαι, ἀπόλλυσθαι, αὔξεσθαι.*

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ